πρός τινας, ὡς θαυμαστὸν εἴη, τὸ, εἰ μέν τις βούλοι-
το σκυτέα διδάξασθαί τινα ἢ τέκτονα ἢ χαλκέα ἢ ἱπ-
πέα, μὴ ἀπορεῖν ὅποι ἂν πέμψας τούτου τύχοι· [Φα-
σὶ δέ τινες, καὶ ἵππον καὶ βοῦν τῷ βουλομένῳ δικαίους
ποιήσασθαι πάντα μεστὰ εἶναι τῶν διδαξόντων] ἐὰν
δέ τις βούληται ἢ αὐτὸς μαθεῖν τὸ δίκαιον ἢ υἱὸν ἢ οἰ-
κέτην διδάξασθαι, μὴ εἰδέναι ὅποι ἂν ἐλθὼν τύχοι
τούτου. Καὶ ὁ μὲν Ἱππίας ἀκούσας ταῦτα, ὥσπερ 6
ἐπισκώπτων αὐτόν, ¶ Ἔτι γὰρ σὺ, ἔφη, ὦ Σώκρα-
τες, ἐκεῖνα τὰ αὐτὰ λέγεις, ἃ ἐγὼ πάλαι ποτέ σου
ἤκουσα; ¶ Καὶ ὁ Σωκράτης, Ὃ δέ γε τούτου δεινότερον,
ἔφη, ὦ Ἱππία, οὐ μόνον ἀεὶ τὰ αὐτὰ λέγω, ἀλλὰ
καὶ περὶ τῶν αὐτῶν. σὺ δ' ἴσως, διὰ τὸ πολυμαθὴς
εἶναι, περὶ τῶν αὐτῶν οὐδέποτε τὰ αὐτὰ λέγεις.
¶ Ἀμέλει, ἔφη, πειρῶμαι καινόν τι λέγειν ἀεί.
¶ Πότερον, ἔφη, καὶ περὶ ὧν ἐπίστασαι, οἷον περὶ 7
γραμμάτων, ἐάν τις ἔρηταί σε, πόσα καὶ ποῖα Σω-
κράτους ἐστὶν, ἄλλα μὲν πρότερον, ἄλλα δὲ νῦν πει-
ρᾷ λέγειν; ἢ περὶ ἀριθμῶν τοῖς ἐρωτῶσιν, εἰ τὰ δὶς
πέντε

Cum eo multae leguntur Socratis disputationes apud Platonem.

βούλοιτο] Stob. p. 110 μέλλοιτο, sed in marg. recte vulgatum est seruatum. Nam τοῦ μέλλεσθαι forma media est inaudita. Miror igitur, cur Schützius vitium Stob. in textum receperit.

διδάσκεσθαί τινα] *Erudiendum curare:* quod per medium exprimunt; quamquam etiam actiuum hoc sensu dicunt, vt docet Hemsterh. V. C. ad Aristoph. Plut. p. 4. 5: adde Schol. et Kusterum ad eiusdem Nubes 128. *Ern.*

ὅποι] Stob. ὅπη.

Φασὶ δὲ — διδαξόντων] Cum verba vncis inclusa a ratione contexti abhorreant; probo cum Valkenario sententiam Ruhnkenii, dicentis, ista a sciolo assuta esse ex Platone Apol. p. 359, G, εἰ μέν σου τὼ υἱέε πώλω ἢ μόσχω ἐγενέσθην, εἴχομεν ἂν αὐτοῖν ἐπιστάτην λαβεῖν, καὶ μισθώσασθαι ὃς ἔμελλεν αὐτὼ καλὼ κἀγαθὼ ποιήσειν τὴν προσήκουσαν ἀρετήν. In Vatic. 1 est δικαίως πρίασθαι. deinceps idem διδάξασθαι τὸ δίκαιον, μὴ εἶναι ὅποι.

μὴ εἰδέναι] Sic Stob. et marg. Steph., quod Hindeburgius et Ernestus recte existimant, superiori μὴ ἀπορεῖν melius respondere. Vulgo, μὴ εἶναι.

ὅποι ἂν] Stob. ποίαν, et marg. Steph. ὁποίαν.

§. 6. ὃ δέ γε τούτου δ.] *Quod vero hac quidem re est grauius, s. ad indignationem tuam mouendam validius.* Igitur δὲ aduersatur, sed γε limitat illud τούτου.

§. 7. πόσα καὶ ποῖα Σωκράτους] *Quot et quae litterae sint in nomine Socratis. Ern.*

μὲν πρότερον] Stob. μὲν πρίν.